Ἀ[γκ]αῖον ἐμῶν τ' Ἀγέλαον
φ̣[έρτ]ατον κεδ|νῶν ἀδελφεῶν,
οὓς τέ]κεν ἐν μεγάροις
. . . . . ]ς Ἀλθαία περικ|λειτοῖσιν Οἰνέος·

Δ'
. . . . . ὤ]λ̣εσε μοῖρ' ὀλοὰ
. . . . . . ]ς· οὐ γάρ πω δαΐφ|ρων
παῦσεν] χ̣όλον ἀγ|ροτέρα

col 14 (10)
Λατοῦς θυγάτηρ· περὶ δ' αἴθωνος δορᾶς
μαρνάμεθ' ἐνδυκέως
Κουρῆσι μενεπτολέμοις·
ἔνθ' ἐγὼ πολλοῖς σὺν ἄλλοις
Ἴφικλον κατέκτανον
ἐσθλόν τ' Ἀφάρητα, θοοὺς μάτρωας· οὐ γὰρ
καρτερόθυμος Ἄρης
κρίνει φίλον ἐν πολέμωι,
τυφ|λὰ δ' ἐκ χειρῶν βέλη
ψυχαῖς ἔπι δυσμενέων φοι-
τᾶι θάνατόν τε φέρει
τοῖσιν ἂν δαίμων θέληι.

ταῦτ' οὐκ ἐπιλεξαμένα
Θεστίου κούρα δαΐφ|ρων